# Πέτρου Α

Πέτρος, ἀπόστολος Ἰησοῦ χριστοῦ, ἐκλεκτοῖς[1] παρεπιδήμοις[2] 1
διασπορᾶς[3] Πόντου,[4] Γαλατίας,[5] Καππαδοκίας,[6] Ἀσίας,[7] καὶ
Βιθυνίας,[8] κατὰ πρόγνωσιν[9] θεοῦ πατρός, ἐν ἁγιασμῷ[10] πνεύματος, 2
εἰς ὑπακοὴν[11] καὶ ῥαντισμὸν[12] αἵματος Ἰησοῦ χριστοῦ: χάρις ὑμῖν καὶ
εἰρήνη πληθυνθείη.[13]

Εὐλογητὸς[14] ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ κατὰ 3
τὸ πολὺ αὐτοῦ ἔλεος[15] ἀναγεννήσας[16] ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι᾽
ἀναστάσεως Ἰησοῦ χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν[17] ἄφθαρτον[18] 4
καὶ ἀμίαντον[19] καὶ ἀμάραντον,[20] τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς, 5
τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους[21] διὰ πίστεως εἰς σωτηρίαν
ἑτοίμην[22] ἀποκαλυφθῆναι[23] ἐν καιρῷ ἐσχάτῳ. Ἐν ᾧ ἀγαλλιᾶσθε,[24] 6
ὀλίγον ἄρτι, εἰ δέον ἐστίν, λυπηθέντες[25] ἐν ποικίλοις[26] πειρασμοῖς,[27] 7
ἵνα τὸ δοκίμιον[28] ὑμῶν τῆς πίστεως πολὺ τιμιώτερον[29] χρυσίου[30] τοῦ
ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου,[31] εὑρεθῇ εἰς ἔπαινον[32] καὶ
τιμὴν καὶ εἰς δόξαν ἐν ἀποκαλύψει[33] Ἰησοῦ χριστοῦ: ὃν οὐκ εἰδότες 8
ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δέ, ἀγαλλιᾶσθε[24] χαρᾷ

[1] ἐκλεκτός, chosen, elect. [2] παρεπίδημος, ου, ὁ, sojourning in a strange place. [3] διασπορά, ᾶς, ἡ, diaspora, dispersion. [4] πόντος, ου, ὁ, sea, Pontus. [5] Γαλατία, ας, ἡ, Galatia. [6] Καππαδοκία, ας, ἡ, Cappadocia. [7] Ἀσία, ας, ἡ, Asia. [8] Βιθυνία, ας, ἡ, Bithynia. [9] πρόγνωσις, εως, ἡ, foreknowledge, predetermination. [10] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [11] ὑπακοή, ῆς, ἡ, obedience. [12] ῥαντισμός, οῦ, ὁ, sprinkling, purification. [13] πληθύνω, multiply, increase. [14] εὐλογητός, well spoken of, blessed. [15] ἔλεος, ους, ὁ, pity, mercy. [16] ἀναγεννάω, beget again, cause to be born again. [17] κληρονομία, ας, ἡ, inheritance. [18] ἄφθαρτος, imperishable, immortal. [19] ἀμίαντος, undefiled, untainted. [20] ἀμάραντος, unfading, permanent. [21] φρουρέω, guard, protect. [22] ἕτοιμος, ready, prepared. [23] ἀποκαλύπτω, reveal, uncover. [24] ἀγαλλιάω, rejoice, am full of joy. [25] λυπέω, grieve, pain. [26] ποικίλος, varied, manifold. [27] πειρασμός, οῦ, ὁ, temptation, trial. [28] δοκίμιον, ου, τό, testing, test. [29] τίμιος, precious, honorable. [30] χρυσίον, ου, τό, gold, golden ornament. [31] δοκιμάζω, prove, approve. [32] ἔπαινος, ου, ὁ, praise, commendation. [33] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling.

ἀνεκλαλήτῳ[1] καὶ δεδοξασμένῃ, κομιζόμενοι[2] τὸ τέλος τῆς πίστεως 9
ὑμῶν, σωτηρίαν ψυχῶν. Περὶ ἧς σωτηρίας ἐξεζήτησαν[3] καὶ 10
ἐξηρεύνησαν[4] προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος
προφητεύσαντες:[5] ἐρευνῶντες[6] εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου[7] τὸ ἐν 11
αὐτοῖς πνεῦμα χριστοῦ, προμαρτυρόμενον[8] τὰ εἰς χριστὸν παθήματα,
καὶ τὰς μετὰ ταῦτα δόξας. Οἷς ἀπεκαλύφθη[10] ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν 12
δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη[11] ὑμῖν διὰ τῶν εὐαγγελισαμένων
ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπʼ οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν
ἄγγελοι παρακύψαι.[13]

Διὸ ἀναζωσάμενοι[14] τὰς ὀσφύας[15] τῆς διανοίας[16] ὑμῶν, νήφοντες,[17] 13
τελείως[18] ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει[19]
Ἰησοῦ χριστοῦ: ὡς τέκνα ὑπακοῆς,[20] μὴ συσχηματιζόμενοι[21] ταῖς 14
πρότερον[22] ἐν τῇ ἀγνοίᾳ[23] ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν 15
καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ[24]
γενήθητε: διότι[25] γέγραπται, Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ 16
πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως[26] κρίνοντα κατὰ τὸ
ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας[27] ὑμῶν χρόνον
ἀναστράφητε:[28] εἰδότες ὅτι οὐ φθαρτοῖς,[29] ἀργυρίῳ[30] ἢ χρυσίῳ,[31] 18

[1] ἀνεκλάλητος, inexpressible, unspeakable. [2] κομίζω, receive, bring. [3] ἐκζητέω, seek out, inquire. [4] ἐξερευνάω, search diligently, examine carefully. [5] προφητεύω, prophesy, foretell. [6] ἐρευνάω, search diligently. [7] δηλόω, show, make clear. [8] προμαρτύρομαι, bear witness to beforehand, predict. [9] πάθημα, τος, τό, suffering, passion. [10] ἀποκαλύπτω, reveal, uncover. [11] ἀναγγέλλω, announce, report. [12] ἐπιθυμέω, desire, long for. [13] παρακύπτω, stoop to look, look. [14] ἀναζώννυμι, bind up, gird up. [15] ὀσφύς, ύος, ἡ, waist, hip. [16] διάνοια, ας, ἡ, mind, understanding. [17] νήφω, be sober, abstain from wine. [18] τελείως, fully, completely. [19] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [20] ὑπακοή, ῆς, ἡ, obedience. [21] συσχηματίζω, conform to. [22] πρότερον, formerly, before. [23] ἄγνοια, ας, ἡ, ignorance. [24] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [25] διότι, because, on this account. [26] ἀπροσωπολήμπτως, impartially. [27] παροικία, ας, ἡ, sojourn, stay. [28] ἀναστρέφω, return, live. [29] φθαρτός, perishable, corruptible. [30] ἀργύριον, ου, τό, silver, shekel. [31] χρυσίον, ου, τό, gold, golden ornament.

ἐλυτρώθητε[1] ἐκ τῆς ματαίας[2] ὑμῶν ἀναστροφῆς[3] πατροπαραδότου,[4] 19
ἀλλὰ τιμίῳ[5] αἵματι ὡς ἀμνοῦ[6] ἀμώμου[7] καὶ ἀσπίλου[8] χριστοῦ, 20
προεγνωσμένου[9] μὲν πρὸ καταβολῆς[10] κόσμου, φανερωθέντος δὲ ἐπʼ
ἐσχάτων τῶν χρόνων διʼ ὑμᾶς, τοὺς διʼ αὐτοῦ πιστεύοντας εἰς θεόν, 21
τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν
πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς θεόν. Τὰς ψυχὰς ὑμῶν ἡγνικότες[11] 22
ἐν τῇ ὑπακοῇ[12] τῆς ἀληθείας διὰ πνεύματος εἰς φιλαδελφίαν[13]
ἀνυπόκριτον,[14] ἐκ καθαρᾶς[15] καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς:[16]
ἀναγεγεννημένοι[17] οὐκ ἐκ σπορᾶς[18] φθαρτῆς,[19] ἀλλὰ ἀφθάρτου,[20] διὰ 23
λόγου ζῶντος θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα. Διότι,[21] Πᾶσα σὰρξ 24
ὡς χόρτος,[22] καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος[23] χόρτου.[22] Ἐξηράνθη
ὁ χόρτος,[22] καὶ τὸ ἄνθος[23] αὐτοῦ ἐξέπεσεν:[25] τὸ δὲ ῥῆμα κυρίου μένει 25
εἰς τὸν αἰῶνα. Τοῦτο δέ ἐστιν τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Ἀποθέμενοι[26] οὖν πᾶσαν κακίαν[27] καὶ πάντα δόλον[28] καὶ ὑποκρίσεις[29] **2**
καὶ φθόνους[30] καὶ πάσας καταλαλιάς,[31] ὡς ἀρτιγέννητα[32] βρέφη,[33] τὸ 2
λογικὸν[34] ἄδολον[35] γάλα[36] ἐπιποθήσατε,[37] ἵνα ἐν αὐτῷ αὐξηθῆτε,[38] 3
εἴπερ[39] ἐγεύσασθε[40] ὅτι χρηστὸς[41] ὁ κύριος: πρὸς ὃν προσερχόμενοι, 4

[1] λυτρόω, ransom, liberate. [2] μάταιος, vain, useless. [3] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [4] πατροπαράδοτος, inherited. [5] τίμιος, precious, honorable. [6] ἀμνός, οῦ, ὁ, lamb. [7] ἄμωμος, without blemish, blameless. [8] ἄσπιλος, spotless, unstained. [9] προγινώσκω, know beforehand. [10] καταβολή, ῆς, ἡ, foundation, depositing. [11] ἁγνίζω, purify, cleanse. [12] ὑπακοή, ῆς, ἡ, obedience. [13] φιλαδελφία, ας, ἡ, love of brothers, brotherly love. [14] ἀνυπόκριτος, sincere, without hypocrisy. [15] καθαρός, clean, pure. [16] ἐκτενῶς, intently, fervently. [17] ἀναγεννάω, beget again, cause to be born again. [18] σπορά, ᾶς, ἡ, seed. [19] φθαρτός, perishable, corruptible. [20] ἄφθαρτος, imperishable, immortal. [21] διότι, because, on this account. [22] χόρτος, ου, ὁ, grass, hay. [23] ἄνθος, ους, τό, flower, bloom. [24] ξηραίνω, dry up, parch. [25] ἐκπίπτω, fall away, fall out. [26] ἀποτίθημι, put off, lay aside. [27] κακία, ας, ἡ, malice, evil. [28] δόλος, ου, ὁ, guile, deceit. [29] ὑπόκρισις, εως, ἡ, hypocrisy. [30] φθόνος, ου, ὁ, envy, grudge. [31] καταλαλιά, ᾶς, ἡ, evil speech, slander. [32] ἀρτιγέννητος, newborn, newly begotten. [33] βρέφος, ους, τό, unborn or a newborn child, baby. [34] λογικός, thoughtful, reasonable. [35] ἄδολος, pure, genuine. [36] γάλα, γαλακτος, τό, milk. [37] ἐπιποθέω, long for, strain after. [38] αὐξάνω, cause to grow, increase. [39] εἴπερ, if perhaps, if indeed. [40] γεύομαι, taste, experience. [41] χρηστός, good, kind.

λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον,[1] παρὰ δὲ θεῷ
ἐκλεκτόν,[2] ἔντιμον,[3] καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε οἶκος 5
πνευματικός,[4] ἱεράτευμα[5] ἅγιον, ἀνενέγκαι[6] πνευματικὰς[4] θυσίας[7]
εὐπροσδέκτους[8] τῷ θεῷ διὰ Ἰησοῦ χριστοῦ. Διότι[9] περιέχει[10] ἐν τῇ 6
γραφῇ, Ἰδού, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον,[11] ἐκλεκτόν,[2]
ἔντιμον:[3] καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.[12] Ὑμῖν οὖν ἡ 7
τιμὴ τοῖς πιστεύουσιν: ἀπειθοῦσιν[13] δέ, Λίθον ὃν ἀπεδοκίμασαν[1] οἱ
οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας,[14] καί, Λίθος 8
προσκόμματος[15] καὶ πέτρα[16] σκανδάλου:[17] οἳ προσκόπτουσιν[18] τῷ
λόγῳ ἀπειθοῦντες:[13] εἰς ὃ καὶ ἐτέθησαν. Ὑμεῖς δὲ γένος[19] ἐκλεκτόν,[2] 9
βασίλειον[20] ἱεράτευμα,[5] ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν,[21] ὅπως τὰς
ἀρετὰς[22] ἐξαγγείλητε[23] τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ
θαυμαστὸν[24] αὐτοῦ φῶς: οἱ ποτὲ οὐ λαός, νῦν δὲ λαὸς θεοῦ: οἱ οὐκ 10
ἠλεημένοι,[25] νῦν δὲ ἐλεηθέντες.[25]

Ἀγαπητοί, παρακαλῶ ὡς παροίκους[26] καὶ παρεπιδήμους,[27] ἀπέχεσθαι[28] 11
τῶν σαρκικῶν[29] ἐπιθυμιῶν, αἵτινες στρατεύονται[30] κατὰ τῆς ψυχῆς: 12
τὴν ἀναστροφὴν[31] ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν, ἵνα, ἐν ᾧ
καταλαλοῦσιν[32] ὑμῶν ὡς κακοποιῶν,[33] ἐκ τῶν καλῶν ἔργων,

[1] ἀποδοκιμάζω, reject, reject after testing. [2] ἐκλεκτός, chosen, elect. [3] ἔντιμος, valued, precious. [4] πνευματικός, spiritual. [5] ἱεράτευμα, τος, τό, priesthood. [6] ἀναφέρω, bring up, offer. [7] θυσία, ας, ἡ, sacrifice. [8] εὐπρόσδεκτος, acceptable, well-received. [9] διότι, because, on this account. [10] περιέχω, surround, seize. [11] ἀκρογωνιαῖος, corner, cornerstone. [12] καταισχύνω, put to shame, shame. [13] ἀπειθέω, disbelieve, disobey. [14] γωνία, ας, ἡ, angle, corner. [15] πρόσκομμα, τος, τό, stumbling, occasion of stumbling. [16] πέτρα, ας, ἡ, rock. [17] σκάνδαλον, ου, τό, cause of stumbling, snare. [18] προσκόπτω, strike against, stumble. [19] γένος, ους, τό, race, kind. [20] βασίλειος, kingly, royal. [21] περιποίησις, εως, ἡ, preservation, acquisition. [22] ἀρετή, ῆς, ἡ, virtue, moral excellence. [23] ἐξαγγέλλω, proclaim, report. [24] θαυμαστός, wonderful, marvelous. [25] ἐλεέω, have mercy, pity. [26] πάροικος, ου, ὁ, alien, stranger. [27] παρεπίδημος, ου, ὁ, sojourning in a strange place. [28] ἀπέχω, received, obtain. [29] σαρκικός, fleshly, carnal. [30] στρατεύομαι, make war, hence to serve as a soldier. [31] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [32] καταλαλέω, speak evil of, slander. [33] κακοποιός, οῦ, ὁ, evildoer.

ἐποπτεύσαντες,[1] δοξάσωσιν τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.[2]

Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ[3] κτίσει[4] διὰ τὸν κύριον: εἴτε βασιλεῖ, 13
ὡς ὑπερέχοντι:[5] εἴτε ἡγεμόσιν,[6] ὡς δι’ αὐτοῦ πεμπομένοις εἰς 14
ἐκδίκησιν[7] κακοποιῶν,[8] ἔπαινον[9] δὲ ἀγαθοποιῶν.[10] Ὅτι οὕτως ἐστὶν 15
τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας[11] φιμοῦν[12] τὴν τῶν ἀφρόνων[13]
ἀνθρώπων ἀγνωσίαν:[14] ὡς ἐλεύθεροι,[15] καὶ μὴ ὡς ἐπικάλυμμα[16] 16
ἔχοντες τῆς κακίας[17] τὴν ἐλευθερίαν,[18] ἀλλ’ ὡς δοῦλοι θεοῦ. Πάντας 17
τιμήσατε.[19] Τὴν ἀδελφότητα[20] ἀγαπήσατε. Τὸν θεὸν φοβεῖσθε. Τὸν
βασιλέα τιμᾶτε.[19]

Οἱ οἰκέται,[21] ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις,[22] οὐ μόνον 18
τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν,[23] ἀλλὰ καὶ τοῖς σκολιοῖς.[24] Τοῦτο γὰρ 19
χάρις, εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει[25] τις λύπας,[26] πάσχων ἀδίκως.[27]
Ποῖον γὰρ κλέος,[28] εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι[29] ὑπομενεῖτε; 20
Ἀλλ’ εἰ ἀγαθοποιοῦντες[11] καὶ πάσχοντες ὑπομενεῖτε,[30] τοῦτο χάρις
παρὰ θεῷ. Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ χριστὸς ἔπαθεν ὑπὲρ 21
ἡμῶν, ὑμῖν ὑπολιμπάνων[31] ὑπογραμμόν,[32] ἵνα ἐπακολουθήσητε[33]
τοῖς ἴχνεσιν[34] αὐτοῦ: ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος[35] 22

[1] ἐποπτεύω, observe, see. [2] ἐπισκοπή, ῆς, ἡ, visitation, overseeing. [3] ἀνθρώπινος, human, belonging to human beings. [4] κτίσις, εως, ἡ, creation, creature. [5] ὑπερέχω, rise above, surpass. [6] ἡγεμών, όνος, ὁ, governor, leader. [7] ἐκδίκησις, εως, ἡ, vengeance, vindication. [8] κακοποιός, οῦ, ὁ, evildoer. [9] ἔπαινος, ου, ὁ, praise, commendation. [10] ἀγαθοποιός, οῦ, ὁ, one who does what is good/right. [11] ἀγαθοποιέω, do good/right, do what is good/right. [12] φιμόω, muzzle, silence. [13] ἄφρων, foolish, senseless. [14] ἀγνωσία, ας, ἡ, ignorance. [15] ἐλεύθερος, free, delivered from obligation. [16] ἐπικάλυμμα, τος, τό, cover, veil. [17] κακία, ας, ἡ, malice, evil. [18] ἐλευθερία, ας, ἡ, liberty, freedom. [19] τιμάω, honor, value at a price. [20] ἀδελφότης, ητος, ἡ, brotherhood. [21] οἰκέτης, ου, ὁ, house servant, household servant. [22] δεσπότης, ου, ὁ, master, lord. [23] ἐπιεικής, yielding, gentle. [24] σκολιός, crooked, unscrupulous. [25] ὑποφέρω, endure, bear up under. [26] λύπη, ης, ἡ, pain, grief. [27] ἀδίκως, unjustly. [28] κλέος, ους, τό, fame, glory. [29] κολαφίζω, strike with the fist, treat roughly. [30] ὑπομένω, tarry, endure. [31] ὑπολιμπάνω, leave, leave behind. [32] ὑπογραμμός, οῦ, ὁ, example, writing-copy. [33] ἐπακολουθέω, follow after, follow close after. [34] ἴχνος, ους, τό, track, footprint. [35] δόλος, ου, ὁ, guile, deceit.

ἐν τῷ στόματι αὐτοῦ: ὃς λοιδορούμενος[1] οὐκ ἀντελοιδόρει,[2] πάσχων 23
οὐκ ἠπείλει,[3] παρεδίδου δὲ τῷ κρίνοντι δικαίως:[4] ὃς τὰς ἁμαρτίας 24
ἡμῶν αὐτὸς ἀνήνεγκεν[5] ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον,[6] ἵνα, ταῖς
ἁμαρτίαις ἀπογενόμενοι,[7] τῇ δικαιοσύνῃ ζήσωμεν: οὗ τῷ μώλωπι[8]
αὐτοῦ ἰάθητε.[9] Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα: ἀλλ᾽ ἐπεστράφητε 25
νῦν ἐπὶ τὸν ποιμένα[10] καὶ ἐπίσκοπον[11] τῶν ψυχῶν ὑμῶν.

Ὁμοίως, αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα, καὶ εἴ **3**
τινες ἀπειθοῦσιν[12] τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς[13] ἄνευ
λόγου κερδηθήσονται,[15] ἐποπτεύσαντες[16] τὴν ἐν φόβῳ ἁγνὴν[17] 2
ἀναστροφὴν[13] ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν[18] ἐμπλοκῆς[19] τριχῶν,[20] 3
καὶ περιθέσεως[21] χρυσίων,[22] ἢ ἐνδύσεως[23] ἱματίων κόσμος: ἀλλ᾽ ὁ 4
κρυπτὸς[24] τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ[25] τοῦ πρᾳέος[26] καὶ
ἡσυχίου[27] πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές.[28] Οὕτως[29] 5
γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ θεὸν ἐκόσμουν[30]
ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν: ὡς Σάρρα[31] ὑπήκουσεν[32] 6
τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα,
ἀγαθοποιοῦσαι[33] καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.[34]

[1] λοιδορέω, abuse, revile. [2] ἀντιλοιδορέω, revile in return, abuse in return. [3] ἀπειλέω, threaten, warm. [4] δικαίως, righteously, justly. [5] ἀναφέρω, bring up, offer. [6] ξύλον, ου, τό, wood, tree. [7] ἀπογίνομαι, die, go out of being. [8] μώλωψ, ωπος, ὁ, bruise, wound. [9] ἰάομαι, heal. [10] ποιμήν, ένος, ὁ, shepherd. [11] ἐπίσκοπος, ου, ὁ, superintendent, overseer. [12] ἀπειθέω, disbelieve, disobey. [13] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [14] ἄνευ, without (gen). [15] κερδαίνω, gain, win. [16] ἐποπτεύω, observe, see. [17] ἁγνός, pure, holy. [18] ἔξωθεν, from without, outside (gen). [19] ἐμπλοκή, ῆς, ἡ, braiding, braid. [20] θρίξ, τριχός, ἡ, hair. [21] περίθεσις, εως, ἡ, putting on, wearing. [22] χρυσίον, ου, τό, gold, golden ornament. [23] ἔνδυσις, εως, ἡ, putting on, clothing. [24] κρυπτός, hidden, secret. [25] ἄφθαρτος, imperishable, immortal. [26] πραΰς, gentle, mild. [27] ἡσύχιος, quiet, tranquil. [28] πολυτελής, very costly, precious. [29] οὕτως, thus, so. [30] κοσμέω, adorn, put into order. [31] Σάρρα, ας, ἡ, Sarah. [32] ὑπακούω, obey, listen. [33] ἀγαθοποιέω, do good/right, do what is good/right. [34] πτόησις, εως, ἡ, intimidation, fear.

Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες[1] κατὰ γνῶσιν,[2] ὡς ἀσθενεστέρῳ[3] 7
σκεύει[4] τῷ γυναικείῳ[5] ἀπονέμοντες[6] τιμήν, ὡς καὶ συγκληρονόμοι[7]
χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι[8] τὰς προσευχὰς ὑμῶν.

Τὸ δὲ τέλος, πάντες ὁμόφρονες,[9] συμπαθεῖς,[10] φιλάδελφοι,[11] 8
εὔσπλαγχνοι,[12] φιλόφρονες·[13] μὴ ἀποδιδόντες κακὸν ἀντὶ[14] κακοῦ, ἢ 9
λοιδορίαν[15] ἀντὶ[14] λοιδορίας·[15] τοὐναντίον[16] δὲ εὐλογοῦντες, εἰδότες
ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν[17] κληρονομήσητε.[18] Ὁ γὰρ 10
θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθάς, παυσάτω[19] τὴν
γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη[20] αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον·
ἐκκλινάτω[22] ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, 11
καὶ διωξάτω αὐτήν. Ὅτι ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα 12
αὐτοῦ εἰς δέησιν[23] αὐτῶν· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά.

Καὶ τίς ὁ κακώσων[24] ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ[25] γένησθε; Ἀλλʼ εἰ 13
καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι· τὸν δὲ φόβον αὐτῶν μὴ
φοβηθῆτε, μηδὲ ταραχθῆτε·[26] κύριον δὲ τὸν θεὸν ἁγιάσατε[27] ἐν ταῖς 15
καρδίαις ὑμῶν· ἕτοιμοι[28] δὲ ἀεὶ[29] πρὸς ἀπολογίαν[30] παντὶ τῷ αἰτοῦντι
ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πρᾳΰτητος[31] καὶ φόβου· 16
συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα, ἐν ᾧ καταλαλοῦσιν[32] ὑμῶν ὡς

[1] συνοικέω, live with, dwell with. [2] γνῶσις, εως, ἡ, wisdom, knowledge. [3] ἀσθενής, weak, infirm. [4] σκεῦος, ους, τό, vessel, goods (plural). [5] γυναικεῖος, feminine, female. [6] ἀπονέμω, assign, show. [7] συγκληρονόμος, fellow heir, joint heir. [8] ἐγκόπτω, impede, detain. [9] ὁμόφρων, of one mind, harmonious. [10] συμπαθής, sympathetic, understanding. [11] φιλάδελφος, having brotherly love. [12] εὔσπλαγχνος, tender-hearted, merciful. [13] φιλόφρων, friendly, kindly. [14] ἀντί, instead of, in place of. [15] λοιδορία, ας, ἡ, abuse, reproach. [16] τοὐναντίον, on the contrary. [17] εὐλογία, ας, ἡ, blessing, adulation. [18] κληρονομέω, inherit, obtain. [19] παύω, cause to cease. [20] χεῖλος, ους, τό, lip, edge. [21] δόλος, ου, ὁ, guile, deceit. [22] ἐκκλίνω, deviate, turn away. [23] δέησις, εως, ἡ, entreaty, prayer. [24] κακόω, mistreat, harm. [25] μιμητής, οῦ, ὁ, imitator. [26] ταράσσω, trouble, agitate. [27] ἁγιάζω, make holy, consecrate. [28] ἕτοιμος, ready, prepared. [29] ἀεί, always, ever. [30] ἀπολογία, ας, ἡ, speech in defense, verbal defense. [31] πρᾳΰτης, mildness, gentleness. [32] καταλαλέω, speak evil of, slander.

κακοποιῶν,[1] καταισχυνθῶσιν[2] οἱ ἐπηρεάζοντες[3] ὑμῶν τὴν ἀγαθὴν ἐν
χριστῷ ἀναστροφήν.[4] Κρεῖττον[5] γὰρ ἀγαθοποιοῦντας,[6] εἰ θέλοι τὸ 17
θέλημα τοῦ θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας.[7] Ὅτι καὶ χριστὸς ἅπαξ[8] 18
περὶ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ ἀδίκων,[9] ἵνα ὑμᾶς προσαγάγῃ[10]
τῷ θεῷ, θανατωθεὶς[11] μὲν σαρκί, ζῳοποιηθεὶς[12] δὲ πνεύματι, ἐν ᾧ καὶ 19
τοῖς ἐν φυλακῇ πνεύμασιν πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασίν[13] ποτε, 20
ὅτε ἀπεξεδέχετο[14] ἡ τοῦ θεοῦ μακροθυμία[15] ἐν ἡμέραις Νῶε,[16]
κατασκευαζομένης[17] κιβωτοῦ,[18] εἰς ἣν ὀλίγαι, τοῦτ᾽ ἔστιν ὀκτὼ[19]
ψυχαί, διεσώθησαν[20] δι᾽ ὕδατος: ὃ ἀντίτυπον[21] νῦν καὶ ἡμᾶς σῴζει 21
βάπτισμα,[22] οὐ σαρκὸς ἀπόθεσις[23] ῥύπου,[24] ἀλλὰ συνειδήσεως ἀγαθῆς
ἐπερώτημα[25] εἰς θεόν, δι᾽ ἀναστάσεως Ἰησοῦ χριστοῦ, ὅς ἐστιν ἐν 22
δεξιᾷ τοῦ θεοῦ, πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων
καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν[26] **4**
ὁπλίσασθε:[27] ὅτι ὁ παθὼν ἐν σαρκί, πέπαυται[28] ἁμαρτίας: εἰς τὸ 2
μηκέτι[29] ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι θεοῦ τὸν ἐπίλοιπον[30]
ἐν σαρκὶ βιῶσαι[31] χρόνον. Ἀρκετὸς[32] γὰρ ἡμῖν ὁ παρεληλυθὼς[33] 3
χρόνος τοῦ βίου[34] τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι,[35]

[1] κακοποιός, οῦ, ὁ, evildoer. [2] καταισχύνω, put to shame, shame. [3] ἐπηρεάζω, mistreat, revile. [4] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [5] κρείττων, stronger, more excellent. [6] ἀγαθοποιέω, do good/right, do what is good/right. [7] κακοποιέω, do evil, harm. [8] ἅπαξ, once, once for all. [9] ἄδικος, unjust, unrighteous. [10] προσάγω, bring (forward), approach. [11] θανατόω, put to death, subdue. [12] ζῳοποιέω, make alive, make to live. [13] ἀπειθέω, disbelieve, disobey. [14] ἀπεκδέχομαι, await eagerly, expect eagerly. [15] μακροθυμία, ας, ἡ, long-suffering, patience. [16] Νῶε, ὁ, Noah. [17] κατασκευάζω, prepare, build. [18] κιβωτός, οῦ, ἡ, wooden box, ark. [19] ὀκτώ, eight, 8. [20] διασώζω, save, bring safely to. [21] ἀντίτυπος, struck back, corresponding to. [22] βάπτισμα, τος, τό, baptism, rite or ceremony of baptism. [23] ἀπόθεσις, εως, ἡ, removal, laying aside. [24] ῥύπος, ου, ὁ, dirt, filth. [25] ἐπερώτημα, τος, τό, inquiry, appeal. [26] ἔννοια, ας, ἡ, thought, intention. [27] ὁπλίζω, arm, equip. [28] παύω, cause to cease. [29] μηκέτι, no longer. [30] ἐπίλοιπος, left, remaining. [31] βιόω, live, pass my life. [32] ἀρκετός, sufficient, enough. [33] παρέρχομαι, pass by, go by. [34] βίος, ου, ὁ, life, manner of life. [35] κατεργάζομαι, work out, produce.

πεπορευμένους ἐν ἀσελγείαις,[1] ἐπιθυμίαις, οἰνοφλυγίαις,[2] κώμοις,[3]
πότοις,[4] καὶ ἀθεμίτοις[5] εἰδωλολατρείαις:[6] ἐν ᾧ ξενίζονται,[7] μὴ 4
συντρεχόντων[8] ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας[9] ἀνάχυσιν,[10]
βλασφημοῦντες: οἳ ἀποδώσουσιν λόγον τῷ ἑτοίμως[11] ἔχοντι κρῖναι 5
ζῶντας καὶ νεκρούς. Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα 6
κριθῶσιν μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσιν δὲ κατὰ θεὸν πνεύματι.

Πάντων δὲ τὸ τέλος ἤγγικεν: σωφρονήσατε[12] οὖν καὶ νήψατε[13] εἰς τὰς 7
προσευχάς: πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ[14] ἔχοντες, 8
ὅτι ἀγάπη καλύψει[15] πλῆθος ἁμαρτιῶν: φιλόξενοι[16] εἰς ἀλλήλους 9
ἄνευ[17] γογγυσμῶν:[18] ἕκαστος καθὼς ἔλαβεν χάρισμα,[19] εἰς ἑαυτοὺς 10
αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι[20] ποικίλης[21] χάριτος θεοῦ: εἴ 11
τις λαλεῖ, ὡς λόγια[22] θεοῦ: εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος[23] ὡς χορηγεῖ[24]
ὁ θεός: ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ χριστοῦ, ᾧ ἐστὶν ἡ
δόξα καὶ τὸ κράτος[25] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀγαπητοί, μὴ ξενίζεσθε[7] τῇ ἐν ὑμῖν πυρώσει[26] πρὸς πειρασμὸν[27] ὑμῖν 12
γινομένῃ, ὡς ξένου[28] ὑμῖν συμβαίνοντος:[29] ἀλλὰ καθὸ[30] κοινωνεῖτε[31] 13
τοῖς τοῦ χριστοῦ παθήμασιν,[32] χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει[33]

[1] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [2] οἰνοφλυγία, ας, ἡ, drunkenness. [3] κῶμος, ου, ὁ, excessive feasting, carousing. [4] πότος, ου, ὁ, drinking party, drunken orgy. [5] ἀθέμιτος, unlawful, forbidden. [6] εἰδωλολατρεία, ας, ἡ, worship or service of an image. [7] ξενίζω, entertain (a stranger), startle. [8] συντρέχω, run together, go with. [9] ἀσωτία, ας, ἡ, dissipation, debauchery. [10] ἀνάχυσις, εως, ἡ, wide stream, flood. [11] ἑτοίμως, readily. [12] σωφρονέω, be of sound mind, judgment. [13] νήφω, be sober, abstain from wine. [14] ἐκτενής, zealous, earnest. [15] καλύπτω, cover, veil. [16] φιλόξενος, hospitable. [17] ἄνευ, without (gen). [18] γογγυσμός, οῦ, ὁ, grumbling, murmuring. [19] χάρισμα, τος, τό, gift, undeserved favor. [20] οἰκονόμος, ου, ὁ, manager, steward. [21] ποικίλος, varied, manifold. [22] λόγιον, οῦ, τό, saying, oracle. [23] ἰσχύς, ύος, ἡ, strength, power. [24] χορηγέω, provide, supply in abundance. [25] κράτος, ους, τό, power, dominion. [26] πύρωσις, εως, ἡ, burning, burning ordeal. [27] πειρασμός, οῦ, ὁ, temptation, trial. [28] ξένος, strange, stranger. [29] συμβαίνω, come together, come to pass. [30] καθό, in so far as, as. [31] κοινωνέω, have a share of, share. [32] πάθημα, τος, τό, suffering, passion. [33] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling.

τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.[1] Εἰ ὀνειδίζεσθε[2] ἐν ὀνόματι 14
χριστοῦ, μακάριοι: ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς
ἀναπαύεται:[3] κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς
δοξάζεται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεύς,[4] ἢ κλέπτης,[5] ἢ 15
κακοποιός,[6] ἢ ὡς ἀλλοτριοεπίσκοπος:[7] εἰ δὲ ὡς Χριστιανός,[8] μὴ 16
αἰσχυνέσθω,[9] δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει τούτῳ. Ὅτι ὁ καιρὸς 17
τοῦ ἄρξασθαι τὸ κρίμα[10] ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ: εἰ δὲ πρῶτον ἀφ᾽
ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων[11] τῷ τοῦ θεοῦ εὐαγγελίῳ; Καὶ εἰ ὁ 18
δίκαιος μόλις[12] σῴζεται, ὁ ἀσεβὴς[13] καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; 19
Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ, ὡς πιστῷ κτίστῃ[14]
παρατιθέσθωσαν[15] τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.[16]

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος[17] καὶ μάρτυς **5**
τῶν τοῦ χριστοῦ παθημάτων,[18] ὁ καὶ τῆς μελλούσης
ἀποκαλύπτεσθαι[19] δόξης κοινωνός:[20] ποιμάνατε[21] τὸ ἐν ὑμῖν ποίμνιον 2
τοῦ θεοῦ, ἐπισκοποῦντες[23] μὴ ἀναγκαστῶς,[24] ἀλλ᾽ ἑκουσίως:[25] μηδὲ
αἰσχροκερδῶς,[26] ἀλλὰ προθύμως:[27] μηδὲ ὡς κατακυριεύοντες[28] τῶν 3
κλήρων,[29] ἀλλὰ τύποι[30] γινόμενοι τοῦ ποιμνίου.[22] Καὶ φανερωθέντος 4
τοῦ ἀρχιποίμενος,[31] κομιεῖσθε[32] τὸν ἀμαράντινον[33] τῆς δόξης

[1] ἀγαλλιάω, rejoice, am full of joy. [2] ὀνειδίζω, reproach, revile. [3] ἀναπαύω, refresh, take rest. [4] φονεύς, έως, ὁ, murderer. [5] κλέπτης, ου, ὁ, thief. [6] κακοποιός, οῦ, ὁ, evildoer. [7] ἀλλοτριοεπίσκοπος, ου, ὁ, busybody. [8] Χριστιανός, οῦ, ὁ, Christian. [9] αἰσχύνομαι, dishonor, put to shame. [10] κρίμα, ος, τό, judgment, verdict. [11] ἀπειθέω, disbelieve, disobey. [12] μόλις, with difficulty, hardly. [13] ἀσεβής, ungodly, impious. [14] κτίστης, ου, ὁ, Creator, founder. [15] παρατίθημι, set before, entrust. [16] ἀγαθοποιΐα, ας, ἡ, doing what is good/right. [17] συμπρεσβύτερος, ου, ὁ, fellow elder. [18] πάθημα, τος, τό, suffering, passion. [19] ἀποκαλύπτω, reveal, uncover. [20] κοινωνός, οῦ, ὁ, partner, sharer. [21] ποιμαίνω, shepherd, rule. [22] ποίμνιον, ου, τό, flock, little flock. [23] ἐπισκοπέω, look upon, oversee. [24] ἀναγκαστῶς, under compulsion, by force. [25] ἑκουσίως, voluntarily, willingly. [26] αἰσχροκερδῶς, in fondness for dishonest gain. [27] προθύμως, willingly, eagerly. [28] κατακυριεύω, exercise dominion over, lord over. [29] κλῆρος, ου, ὁ, lot, portion. [30] τύπος, ου, ὁ, mark, example. [31] ἀρχιποίμην, ενος, ὁ, chief shepherd. [32] κομίζω, receive, bring. [33] ἀμαράντινος, unfading, fadeless.

στέφανον.[1] Ὁμοίως, νεώτεροι,[2] ὑποτάγητε πρεσβυτέροις: πάντες δὲ 5
ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην[3] ἐγκομβώσασθε:[4]
ὅτι ὁ θεὸς ὑπερηφάνοις[5] ἀντιτάσσεται,[6] ταπεινοῖς[7] δὲ δίδωσιν χάριν. 6
Ταπεινώθητε[8] οὖν ὑπὸ τὴν κραταιὰν[9] χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς
ὑψώσῃ[10] ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν[11] ὑμῶν ἐπιρρίψαντες[12] ἐπ' 7
αὐτόν, ὅτι αὐτῷ μέλει[13] περὶ ὑμῶν. Νήψατε,[14] γρηγορήσατε:[15] ὁ 8
ἀντίδικος[16] ὑμῶν διάβολος, ὡς λέων[17] ὠρυόμενος,[18] περιπατεῖ ζητῶν
τίνα καταπίῃ:[19] ᾧ ἀντίστητε[20] στερεοὶ[21] τῇ πίστει, εἰδότες τὰ αὐτὰ 9
τῶν παθημάτων[22] τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι[23] ἐπιτελεῖσθαι.[24] Ὁ 10
δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν
ἐν χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας αὐτὸς καταρτίσαι[25] ὑμᾶς,
στηρίξει,[26] σθενώσει,[27] θεμελιώσει.[28] Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος[29] εἰς 11
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διὰ Σιλουανοῦ[30] ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων 12
ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν[31] ταύτην εἶναι ἀληθῆ[32] χάριν
τοῦ θεοῦ εἰς ἣν ἑστήκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι[33] 13
συνεκλεκτή,[34] καὶ Μάρκος[35] ὁ υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν 14
φιλήματι[36] ἀγάπης.

[1] στέφανος, ου, ὁ, crown, garland. [2] νέος, new, young. [3] ταπεινοφροσύνη, ης, ἡ, lowliness of mind, humility. [4] ἐγκομβόομαι, put on, clothe. [5] ὑπερήφανος, arrogant, haughty. [6] ἀντιτάσσομαι, range in battle against, oppose. [7] ταπεινός, humble, downcast. [8] ταπεινόω, humble, humiliate. [9] κραταιός, powerful, mighty. [10] ὑψόω, lift up, exalt. [11] μέριμνα, ης, ἡ, care, anxiety. [12] ἐπιρρίπτω, throw upon, cast upon. [13] μέλει, it is a care, it concerns. [14] νήφω, be sober, abstain from wine. [15] γρηγορέω, watch, keep watch. [16] ἀντίδικος, ου, ὁ, opponent, adversary. [17] λέων, οντος, ὁ, lion. [18] ὠρύομαι, roar, howl. [19] καταπίνω, drink down, swallow. [20] ἀνθίστημι, resist, oppose. [21] στερεός, hard, firm. [22] πάθημα, τος, τό, suffering, passion. [23] ἀδελφότης, ητος, ἡ, brotherhood. [24] ἐπιτελέω, complete, perform. [25] καταρτίζω, mend, fit. [26] στηρίζω, establish, fix firmly. [27] σθενόω, strengthen, make strong. [28] θεμελιόω, lay a foundation, found. [29] κράτος, ους, τό, power, dominion. [30] Σιλουανός, οῦ, ὁ, Silvanus. [31] ἐπιμαρτυρέω, bear witness, testify. [32] ἀληθής, true, unconcealed. [33] Βαβυλών, Babylon. [34] συνεκλεκτός, chosen together, fellow elect. [35] Μᾶρκος, ου, ὁ, Mark. [36] φίλημα, τος, τό, kiss.

Εἰρήνη ὑμῖν πᾶσιν τοῖς ἐν χριστῷ Ἰησοῦ. Ἀμήν.